Ακαδημία Αθηνών / Academy of Athens

**λόγος** **1.** Λόγος/ὁμιλία, word/speech, Ξενοφάνης 1.14 *χρὴ δὲ πρῶτον μὲν θεὸν ὑμνεῖν εὔφρονας ἄνδρας εὐφήμοις μύθοις καὶ καθαροῖσι λ ό γ ο ι ς* Παρμενίδης 1.15 *τὴν δὴ παρφάμεναι κοῦραι μαλακοῖσι λ ό γ ο ι σ ι ν πεῖσαν ἐπιφραδέως* Δημόκριτος 53a *πολλοὶ δρῶντες τὰ αἴσχιστα λ ό γ ο υ ς ἀρίστους ἀσκέουσιν* 55 *ἔργα καὶ πρήξιας ἀρετῆς, οὐ λ ό γ ο υ ς, ζηλοῦν χρειὼν* 82 *κίβδηλοι καὶ ἀγαθοφανέες οἱ λ ό γ ῳ μὲν ἅπαντα, ἔργῳ δὲ οὐδὲν ἔρδοντες* 110 *γυνὴ μὴ ἀσκείτω λ ό γ ο ν* 145 *λ ό γ ο ς... ἔργου σκιὴ* 177 *οὔτε λ ό γ ο ς ἐσθλὸς φαύλην πρῆξιν ἀμαυρίσκει οὔτε πρῆξις ἀγαθὴ λ ό γ ο υ βλασφημίῃ λυμαίνεται* **2.** Λόγος/ἔκθεση νοημάτων, discourse, Ξενοφάνης 7.1 *νῦν αὖτ' ἄλλον ἔπειμι λ ό γ ο ν, δείξω δὲ κέλευθον* Ἡράκλειτος 87 *βλὰξ ἄνθρωπος ἐπὶ παντὶ λ ό γ ῳ ἐπτοῆσθαι φιλεῖ* Παρμενίδης 8.50 *ἐν τῷ σοι παύω πιστὸν λ ό γ ο ν ἠδὲ νόημα ἀμφὶς ἀληθείης* Μέλισσος 8(1) *μέγιστον μὲν οὖν σημεῖον οὗτος ὁ λ ό γ ο ς, ὅτι ἓν μόνον ἔστιν* Ἐμπεδοκλῆς 4.3 *ὡς δὲ παρ' ἡμετέρης κέλεται πιστώματα Μούσης, γνῶθι διασσηθέντος ἐνὶ σπλάγχνοισι λ ό γ ο ι ο* 17.26 *σὺ δ' ἄκουε λ ό γ ο υ στόλον οὐκ ἀπατηλὸν* 35.2 *αὐτὰρ ἐγὼ παλίνορσος ἐλεύσομαι ἐς πόρον ὕμνων, τὸν πρότερον κατέλεξα, λ ό γ ο υ λ ό γ ο ν ἐξοχετεύων, κεῖνον* 131.4 *νῦν αὖτε παρίστασο, Καλλιόπεια, ἀμφὶ θεῶν μακάρων ἀγαθὸν λ ό γ ο ν ἐμφαίνοντι* Φιλόλαος 11.18 *ἐν τοῖς ἀνθρωπικοῖς ἔργοις καὶ λ ό γ ο ι ς* Διογένης 1 *λ ό γ ο υ παντὸς ἀρχόμενον δοκεῖ μοι χρεὼν εἶναι τὴν ἀρχὴν ἀναμφισβήτητον παρέχεσθαι, τὴν δὲ ἑρμηνείαν ἁπλῆν καὶ σεμνὴν* Δημόκριτος 7 *δηλοῖ μὲν δὴ καὶ οὗτος ὁ λ ό γ ο ς, ὅτι ἐτεῇ οὐδὲν ἴσμεν περὶ οὐδενός, ἀλλ' ἐπιρυσμίη ἑκάστοισιν ἡ δόξις* 76 *νηπίοισιν οὐ λ ό γ ο ς, ἀλλὰ ξυμφορὴ γίνεται διδάσκαλος* 181.2 *κρείσσων ἐπ' ἀρετὴν φανεῖται προτροπῇ χρώμενος καὶ λ ό γ ο υ πειθοῖ ἤπερ νόμῳ καὶ ἀνάγκῃ* 190 *φαύλων ἔργων καὶ τοὺς λ ό γ ο υ ς παραιτητέον* **3.** Λόγος, reason, Ἡράκλειτος 1.2-4 *τοῦ δὲ λ ό γ ο υ τοῦδ' ἐόντος ἀεὶ ἀξύνετοι γίνονται ἄνθρωποι καὶ πρόσθεν ἢ ἀκοῦσαι καὶ ἀκούσαντες τὸ πρῶτον· γινομένων γὰρ πάντων κατὰ τὸν λ ό γ ο ν τόνδε ἀπείροισιν ἐοίκασι* 2 *τοῦ λ ό γ ο υ δ' ἐόντος ξυνοῦ ζώουσιν οἱ πολλοὶ ὡς ἰδίαν ἔχοντες φρόνησιν* 50 *οὐκ ἐμοῦ, ἀλλὰ τοῦ λ ό γ ο υ ἀκούσαντας ὁμολογεῖν σοφόν ἐστιν ἓν πάντα εἶναι* 72 *ᾧ μάλιστα διηνεκῶς ὁμιλοῦσι λ ό γ ῳ ... τούτῳ*

Ακαδημία Αθηνών / Academy of Athens

*διαφέρονται.* || Ἡράκλειτος 45 *ψυχῆς πείρατα ἰὼν οὐκ ἂν ἐξεύροιο, πᾶσαν ἐπιπορευόμενος ὁδόν· οὕτω βαθὺν λ ό γ ο ν ἔχει* 115 *ψυχῆς ἐστι λ ό γ ο ς ἑαυτὸν αὔξων* Δημόκριτος 53 *πολλοὶ λ ό γ ο ν μὴ μαθόντες ζῶσι κατὰ λ ό γ ο ν* 146 *τὸν λ ό γ ο ν ... αὐτὸν ἐξ ἑαυτοῦ τὰς τέρψιας ἐθιζόμενον λαμβάνειν* **4.** Μέτρο/ἀναλογία, measure/proportion, Ἡράκλειτος 31 *⟨γῆ⟩ θάλασσα διαχέεται, καὶ μετρέεται εἰς τὸν αὐτὸν λ ό γ ο ν, ὁκοῖος πρόσθεν ἦν ἢ γενέσθαι γῆ* Φιλόλαος 11.14 *νῦν δὲ οὗτος (*sc. *ὁ ἀριθμός) καττὰν ψυχὰν ἁρμόζων ... καὶ σχίζων τοὺς λ ό γ ο υ ς χωρὶς ἑκάστους τῶν πραγμάτων τῶν τε ἀπείρων καὶ τῶν περαινόντων* Ἀρχύτας 2.4 *ἀριθμητικὰ μέν, ὅκκα ἔωντι τρεῖς ὅροι κατὰ τὰν τοίαν ὑπεροχὰν ἀνὰ λ ό γ ο ν· ᾧ πρᾶτος δευτέρου ὑπερέχει, τούτῳ δεύτερος τρίτου ὑπερέχει* **5.** Λόγος/φήμη, report/fame, Ἡράκλειτος 39 *ἐν Πριήνῃ Βίας ἐγένετο ὁ Τευτάμεω, οὗ πλείων λ ό γ ο ς ἢ τῶν ἄλλων* **6.** Λόγος/κριτικὴ δύναμη, reason/critical ability, Παρμενίδης 7.5 *κρῖναι δὲ λ ό γ ῳ πολύδηριν ἔλεγχον ἐξ ἐμέθεν ῥηθέντα* Ἀναξαγόρας 7 *ὥστε τῶν ἀποκρινομένων μὴ εἰδέναι τὸ πλῆθος μήτε λ ό γ ῳ μήτε ἔργῳ* **7.** Λόγος/ἐπιχειρηματολογία, discourse/argumentation, Ἡράκλειτος 108 *ὁκόσων λ ό γ ο υ ς ἤκουσα, οὐδεὶς ἀφικνεῖται ἐς τοῦτο, ὥστε γινώσκειν ὅτι σοφόν ἐστι πάντων κεχωρισμένον* Ζήνων 1.4 *καὶ περὶ τοῦ προύχοντος ὁ αὐτὸς λ ό γ ο ς* Μέλισσος 7(6) *καὶ περὶ τοῦ ἀνιᾶσθαι ὡυτὸς λ ό γ ο ς τῷ ἀλγέοντι* Δημόκριτος 51 *ἰσχυρότερος ἐς πειθὼ λ ό γ ο ς πολλαχῇ γίνεται χρυσοῦ* **8.** Λόγος/λογισμός, reason/reasoning, Φιλόλαος 16 *εἶναί τινας λ ό γ ο υ ς κρείττους ἡμῶν* **9.** Λόγος/αἰτία, ground/cause, Λεύκιππος 2 *οὐδὲν χρῆμα μάτην γίνεται, ἀλλὰ πάντα ἐκ λ ό γ ο υ τε καὶ ὑπ᾽ ἀνάγκης.*

**λοχάζεσθαι.** Καλύπτομαι/κρύπτομαι, be covered/be concealed, Ἐμπεδοκλῆς 84.8 *ὣς δὲ τότ᾽ ἐν μήνιγξιν ἐεργμένον ὠγύγιον πῦρ λεπτῇσιν ⟨τ᾽⟩ ὀθόνῃσι λ ο χ ά ζ ε τ ο κύκλοπα κούρην, ⟨αἳ⟩ χοάνῃσι δίαντα τετρήατο θεσπεσίῃσιν.*

**λυγρός** (συνών. *χαλεπός*). Ἄθλιος/θλιβερός, wretched/painful Ἐμπεδοκλῆς 22.8 *ἐχθρὰ ⟨δ᾽ ἃ⟩ πλεῖστον ἀπ᾽ ἀλλήλων διέχουσι μάλιστα γέννῃ τε κρήσει τε καὶ εἴδεσιν ἐκμάκτοισι, πάντῃ συγ-*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ